# Μεταφρασούλα

για να μη βαριόμαστε...

## ΠΑΡΑΓΡΑΦΟΣ 16

Τοιούτων δὲ ὄντων Θηραμένης εἶπεν ἐν ἐκκλησίᾳ

ὅτι εἰ βούλονται αὐτὸν πέμψαι παρὰ Λύσανδρον,

ἥξει εἰδὼς Λακεδαιμονίους

πότερον ἀντέχουσι περὶ τῶν τειχῶν

ἐξανδραποδίσασθαι τὴν πόλιν βουλόμενοι

ἢ πίστεως ἕνεκα.

Πεμφθεὶς δὲ διέτριβε παρὰ Λυσάνδρῳ

τρεῖς μῆνας καὶ πλείω,

ἐπιτηρῶν

ὁπότε Ἀθηναῖοι ἔμελλον διὰ τὸ ἐπιλελοιπέναι

τὸν σῖτον ἅπαντα ὁμολογήσειν

ὅ τι τις λέγοι

## ΠΑΡΑΓΡΑΦΟΣ 17

Λύσανδρος δὲ τούς τε φρουροὺς τῶν Ἀθηναίων

καὶ εἴ τινά που ἄλλον ἴδοι Ἀθηναῖον,

ἀπέπεμπεν εἰς τὰς Ἀθήνας,

διδοὺς ἐκεῖσε μόνον πλέουσιν ἀσφάλειαν,

ἄλλοθι δ' οὔ,

εἰδὼς ὅτι ὅσῳ ἂν πλείους συλλεγῶσιν εἰς τὸ

ἄστυ καὶ τὸν Πειραιᾶ,

θᾶττον τῶν ἐπιτηδείων ἔνδειαν ἔσεσθαι. .



## ΠΑΡΑΓΡΑΦΟΣ 17

Καταλιπὼν δὲ Βυζαντίου καὶ Καλχηδόνος

Σθενέλαον ἁρμοστὴν Λάκωνα,

αὐτὸς ἀποπλεύσας εἰς Λάμψακον τὰς ναῦς

ἐπεσκεύαζεν

## ΠΑΡΑΓΡΑΦΟΣ 17

Ἐπεὶ δὲ ἧκε τετάρτῳ μηνί,

ἀπήγγειλεν ἐν ἐκκλησίᾳ

ὅτι αὐτὸν Λύσανδρος τέως μὲν κατέχοι,

εἶτα κελεύοι εἰς Λακεδαίμονα ἰέναι·

οὐ γὰρ εἶναι κύριος ὧν ἐρωτῷτο ὑπ’ αὐτοῦ,

ἀλλὰ τοὺς ἐφόρους.

Μετὰ ταῦτα ᾑρέθη πρεσβευτὴς εἰς Λακεδαίμονα

αὐτοκράτωρ δέκατος αὐτός

## ΠΑΡΑΓΡΑΦΟΣ 18

Λύσανδρος δὲ τοῖς ἐφόροις ἔπεμψεν ἀγγελοῦντα

μετ’ ἄλλων Λακεδαιμονίων Ἀριστοτέλην,

φυγάδα Ἀθηναῖον ὄντα,

ὅτι ἀποκρίναιτο Θηραμένει ἐκείνους κυρίους εἶναι

εἰρήνης καὶ πολέμου.

## ΠΑΡΑΓΡΑΦΟΣ 19

Θηραμένης δὲ καὶ οἱ ἄλλοι πρέσβεις

ἐπεὶ ἦσαν ἐν Σελλασίᾳ,

ἐρωτώμενοι δὲ ἐπὶ τίνι λόγῳ ἥκοιεν

εἶπον

ὅτι αὐτοκράτορες περὶ εἰρήνης,



## ΠΑΡΑΓΡΑΦΟΣ 19

μετὰ ταῦτα οἱ ἔφοροι καλεῖν ἐκέλευον αὐτούς.

Ἐπεὶ δ’ ἧκον, ἐκκλησίαν ἐποίησαν,

ἐν ᾗ ἀντέλεγον Κορίνθιοι καὶ Θηβαῖοι μάλιστα,

πολλοὶ δὲ καὶ ἄλλοι τῶν Ἑλλήνων,

μὴ σπένδεσθαι Ἀθηναίοις, ἀλλ’ ἐξαιρεῖν.

## ΠΑΡΑΓΡΑΦΟΣ 20

Λακεδαιμόνιοι δὲ οὐκ ἔφασαν πόλιν Ἑλληνίδα

ἀνδραποδιεῖν

μέγα ἀγαθὸν εἰργασμένην ἐν τοῖς μεγίστοις

κινδύνοις γενομένοις τῇ Ἑλλάδι,

ἀλλ’ ἐποιοῦντο εἰρήνην

ἐφ’ ᾧ τά

τε μακρὰ τείχη καὶ τὸν Πειραιᾶ καθελόντας

καὶ τὰς ναῦς πλὴν δώδεκα παραδόντας

καὶ τοὺς φυγάδας καθέντας

τὸν αὐτὸν ἐχθρὸν καὶ φίλον νομίζοντας

Λακεδαιμονίοις ἕπεσθαι

καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν

ὅποι ἂν ἡγῶνται

